ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχνυται Ἰφικλῆι,
σῷ υἱεῖ· πάντων γὰρ ὀιζυρώτατα τέκνα
γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.'
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
κόλπον ἐς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο
μνησαμένῃ τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
ὣς δ' αὔτως δακρύοισι παρήια λεύκ' ἐδίαινεν
Ἀλκμήνη· βαρὺ δ' ἧγε καὶ ἐκ θυμοῦ στενάχουσα
μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
' δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
πευκαλίμῃς; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω
κήδε' ἄλαστα λέγουσα τά τ' οὐ νῦν πρῶτα κέκλαυται;
ἦ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον, αἰὲν ἐπ' ἦμαρ
γινομένοις; μάλα μέν γε φιλοθρηνής κέ τις εἴη
ὅστις ἀριθμηθεῖσιν ἐφ' ἡμετέροις ἀχέεσσι
θαρσοίη· τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
καὶ δ' αὐτὴν ὁρόω σε, φίλον τέκος, ἀτρύτοισιν
ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοί εἰμι
ἀγχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι ἠδ' ἐλεαίρω
οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες
ὅς θ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
ἴστω γὰρ Κούρη τε καὶ εὐέανος Δημήτηρ,
ἃς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσαι
†δυσμενέων†, μηδέν σε χερειότερον φρεσὶν ᾗσι
στέργειν ⟨μ'⟩ ἢ εἴπερ μοι ὑπὲκ νηδυιόφιν ἦλθες
καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα·